Πέρδικα 760. Μήδεια Χειμων. πῆξις θαλάσσης
284

| |
|---|
| Νικηφόρου Πατριάρχου Ἱστορία ἀπὸ Μαυρικίου Βασιλέως Bonnae σ. 75- |

Ἔτι πρὸς τούτοις οὐδὲ ἐκεῖνο νῦν παραδραμεῖν ἄξιον.
(ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου).
ὥρα τοίνυν φθινοπώρου, ἐν αὐτῇ χειμέριον γίνεται τὸ κατάστημα καὶ ψῦχος κρυερὸν καὶ δριμύτατον, ὡς ζῷα τινὰ καὶ ἐξαίφνης τεθνηκότα ὁρᾶσθαι ἀπολειψάσης τῆς ὑγρᾶς οὐσίας ἐν τοῖς περὶ αὐτὴν συμβάσης πήξεως τὴν θέαν, οὐκ ἐν τοῖς γλυκέσιν ὕδασι μόνον,
ἀλλὰ τὸ δὴ παραδοξότερον, καὶ κατὰ τὰς ἁλμυρὰς ἰσχούσας τὴν ποιότητος, καὶ ἐν ἄλλοις μὲν πελάγεσι τοσαῦτα τῶν οἰκουμένων τόποις, οὐχ ἥκιστα δὲ τά τε ὑπερβόρεια καὶ προσάρκτια κατὰ τόπους πῆξαι συνέβη.
ἐπὶ τοσοῦτο δὲ κατεπικράτησε διαπήγνυσι ὥστε τὴν ὑπερπόντιον τοῦ Εὐξείνου θάλασσαν ἐπὶ σημείοις ἑκατόν που ἀποκρυσταλλωθῆναι κατὰ τὸ πέλαγος, εἶτα καὶ τοὺς ὑπερκειμένους μεγίστους ὅτι μάλιστα καὶ πλείστους ποταμούς, καὶ ἔτι τοῦ ἐπὶ Μεσημβρίαν καὶ Μήδειαν πόλιν ἀρχομένου παράλιον χῶρον τῷ πάγει συναποπετρωθῆναι, διὰ βάθους χωρησάσης τῆς τοιαύτης πήξεως ἄχρι καὶ εἰς τριάκοντα πήχεις. ἐπὶ τούτοις ἄφατον καταρραγείσης χιόνος εἰς ὕψος διαρθῆναι τὸ κρύος ὑπερανεστηκὸς τῆς ἐπιφανείας μέχρι πηχῶν που ἄλλων εἴκοσι, καὶ πως συμφυῆναι τῇ ἠπείρῳ τὴν θάλατταν ὡς μηδὲ διακρίνεσθαι ῥᾳδίως ποτέρα ἑτέρας ἀποκέκριται.
οὕτω τε ἅπαν τὸ πρὸς ἄρκτον ἐπικρατεῖν ὕδωρ πεζεύειν κατὰ νῶτον συνεχώρει τοῖς βουλομένοις, βάσιμά τε ἦν τὰ ἐκείνης
(ἀκολουθεῖ)

ἅπαντα, ὅσα τε ἐν ταῖς τῶν Χαζάρων γῆς μεθορίαις καὶ τοῖς πλησιοχώροις Σκυθικοῖς ἔθνεσι, καὶ οὐκ ἀνθρώποις μόνον ἀλλὰ καὶ κτήνεσι καὶ ζῴοις ἑτέροις γινόμενα· ἀπώλοντο δὲ ἤδη ἐντεῦθεν γενέσθαι τὴν Ποντικὴν τότε θάλατταν.

ἡμέραις δέ τισι διιππευούσαις καὶ ὁ ἄπλετος ἐκεῖνος τοῦ παγετοῦ ὄγκος εἰς διάφορα συρρήγνυται τμήματα, ἅπερ εἰς τοσοῦτον ὕψος ἀνέσχεν ὡς ὄρη δοκεῖν εἶναι ὑπερύψηλα τούτων ἀπορραγέντα μέρη τινὰ καὶ τῇ βίᾳ τῶν πνευμάτων συνωθούμενα πρός τε Δαφνουσίαν φρούριον ὄν τι τῆς Ποντικῆς μοίρας, ἐρημότατον τυγχάνον ἐξοκέλλουσι καὶ ἄχρι τοῦ στομίου τοῦ Εὐξείνου καταρρέουσι· συστραφέντα δὲ πρὸς ἑαυτά, καὶ τὸν αὐτόθι στενὸν πόρον τὸν μεταξὺ πορθμὸν πληρώσαντα, τὰς ἑκατέρωθεν ἠπείρους, τήν τε Θρᾴκην καὶ τὴν Ἀσιάτιδα, ἀλλήλαις συνῆψαν, ὥστε ἐξ ἑκατέρας πρὸς θατέραν πεζῇ μᾶλλον ἢ πλοΐ διαπεραιοῦσθαι ἐξεῖναι τοῖς βουλομένοις.

Ἐπειδὴ συνωθούμενα ἀνὰ τὴν Προποντίδα μέχρις Ἀβύδου ἐξεχύθησαν, ἥπερ δὴ οὐδὲ θάλασσα εἶναι τὸ λοιπὸν ὑπωπτεύετο, τούτων ἓν ἀποσπασθὲν τῇ ἀκροπόλει τοῦ Βυζαντίου προσαράσσεται, καὶ τὸ αὐτόθι τεῖχος περιέσεισεν ὡς καὶ τοὺς ἔνδον οἰκοῦντας συμμετασχεῖν τοῦ σάλου. καὶ τοῦτο τριχῇ διαιρεθὲν παρ' ἑκάτερα μέρη τῆς ἀκροπόλεως τὰ αὐτοῦ ἐμπίπτουσι. τὸ δὲ ὕψος αὐτοῦ τὴν τῆς πόλεως τειχῶν ὑπερανέστηκε, δι' αὐτοῦ δέ τινες ἐξ ἀκροπόλεως πρὸς τὸ ἀντιπέραν, ἐν ᾧ τὸ Γαλάτου λεγόμενον ἵδρυται φρούριον, πεζῇ διεπεραιοῦντο.